www.tezaurliturgic.ro

*Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος*
*(Ψαλμ. 117, 14)*

*Ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. (Ψαλμ. 145, 2)*

*************************************************
******************

Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ

# ΣΕΒΑΣΤΙΑΝΟΥ

*
*
* * * * *
*
*

Ἀθῆναι 2011

www.tezaurliturgic.ro


# Α Κ Ο Λ Ο Υ Θ Ι Α

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΑΡΤΥΡΟΣ

# ΣΕΒΑΣΤΙΑΝΟΥ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΗ´ Δεκεμβρίου**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

****************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Πανεύφημοι Μάρτυρες.**

Καλλίνικε Σεβαστιανέ,
ἀθλητῶν ἀγλάϊσμα,
ὁ στρατηγὸς αὐτοκράτορος
τοῦ εἰδωλόφρονος,
μαρτυρίου τρίβοις
χαίρων ἠκολούθησας
Μαρτύρων συνεγείρας συνέλευσιν
εἰς τοῦ Παντάνακτος
Ἰησοῦ καθομολόγησιν
τοῦ πανσέπτου
καὶ θείου ὀνόματος.

Πανένδοξε Σεβαστιανέ,
ὁ τρωθεὶς τοῖς βέλεσι
λατρῶν εἰδώλων καὶ μάστιγας
ἄλλου ὡς πάσχοντος
χαίρων ὑπομείνας,
οὐρανόθεν στέφανον
ἀπείληφας χρυσοῦν ἀφθαρτότητος
καὶ ἐπαγάλλεσθαι
σὺν Ἀγγέλοις κατηξίωσαι
ἐν παμφώτοις
τοῦ πόλου σκηνώσεσι.

**Κ**ατῄσχυνας, Σεβαστιανέ,
στρατηγὲ περίδοξε
τοῦ αὐτοκράτορος ἄθλοις σου
τοῦτον καὶ ἴθυνας
πρὸς ἐπάλξεις θείας
Μάρτυρας τῆς πίστεως,
ὑπέρμαχος αὐτῶν ἀκραιφνέστατος,
μάκαρ, γενόμενος,
ὡς θωπείας ὁ τὰς μάστιγας
τῶν ἀπίστων
ἐχθρῶν λογιζόμενος.

**Τ**ρωθείς, Μάρτυς Σεβαστιανέ,
τὴν πλευρὰν ὡς Κύριος
ὁ Ἰησοῦς καὶ σοῖς αἵμασι
ῥύμας τῆς πόλεως
Ῥώμης πορφυρώσας,
γενναιόφρον, ἔδραμες
εἰς πόλου ὑπαντῆσαι σκηνώματα
τῷ ἀθλοθέτῃ σου
καὶ Κυρίῳ, Οὗ λαμπρότητος
ἀπολαύεις
προσώπου ἀείποτε.

**Δόξα. Ἦχος β΄.**

**Κ**αταλιπὼν τοῦ στρατηγοῦ τὸ ἀξίωμα
καὶ τὰς ἐκ τούτου ἀποῤῥεούσας τιμὰς, γενναιότατε,
ἔδραμες παῤῥησίᾳ Χριστὸν ὁμολογῆσαι
καὶ ἄχρι μαρτυρικοῦ τέλους ἐνισχῦσαι
τοὺς εἰς Θεὸν πιστεύοντας·
ὅθεν ἡμεῖς σήμερον τὴν μνήμην σου ἑορτάζοντες
καὶ τὸ ἀθλητικόν σου παράστημα μεγαλύνοντες
τὰς πρὸς τὸν στεφοδότην σου εὐχὰς ἐκδεχόμεθα
πρὸς διηνεκῆ ὁμολογίαν τοῦ πανσέπτου Αὐτοῦ ὀνόματος
καὶ ζωὴν τὴν αἰώνιον.

**Καὶ νῦν. Ὁ αὐτός. Προεόρτιον (Ἐκ τοῦ Μηναίου).**
Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα.

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

**Φ**ῶς, Σεβαστιανέ,

τῶν ἐν σκιᾷ κειμένων
λατρῶν εἰδώλων ὤφθης
καὶ πάμφωτος Μαρτύρων
προασπιστὴς τῆς πίστεως.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Ἤ**νεγκας ἀκλινῶς
ἐπὶ τοῦ στήθους βέλη
τῶν εἴδωλα σεβόντων
καὶ μαστιγώσεις, Μάρτυς,
σαρκὸς ὡς ἄλλου πάσχοντος.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Χ**αῖρε, ὁ ἀθλητὴς
Χριστοῦ ὁ τροπαιοῦχος,
ὁ σὺν χορῷ συνάθλων
τῶν σῶν ἀεὶ χορεύων
ἐν οὐρανῶν ἐπάλξεσι.

**Δόξα. Τριαδικόν.**

**Δ**όξα Σοι, ὁ Θεὸς
Μαρτύρων ὡραιότης
καὶ σθένος ἐν σταδίῳ,
Τριὰς ὑπεραγία,
κραταίωμα τῶν δούλων Σου.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ἔ**ρχεται Μαριὰμ
σεμνῶς κυοφοροῦσα
τὸν Κτίστην τῶν ἁπάντων
Αὐτὸν τεκεῖν ἀφράστως
εἰς Βηθλεὲμ τὸ σπήλαιον.

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

**********************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ, εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους η´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α´. Τῶν οὐρανίων ταγμάτων.**

**Μ**εδιολάνων τὸν γόνον
ἐγκωμιάσωμεν,
τὸν στρατηγὸν Ῥωμαίων
στρατιᾶς, τὸν λιπόντα
τὴν εὔκλειαν προθύμως διὰ Χριστὸν
καὶ τὴν τρίβον βαδίσαντα
τοῦ μαρτυρίου ὡς πρώταθλον εὐσθενῆ
τοῦ σταδίου θείοις ᾄσμασι.

**Π**ροστάτην τῶν πενομένων,
πτωχῶν ὑπέρμαχον,
χειμαζομένων πάντων
ἀντιλήπτορα θεῖον
καὶ δήμου ἐν σταδίῳ τῶν ἀθλητῶν
τοῦ Κυρίου ὑπέρμαχον
ἀνευφημήσωμεν ᾄσμασι μελιχροῖς,
Σεβαστιανὸν τὸν ἔνδοξον.

**Τ**ὸν ἀπηνῶς ἐπὶ δένδρου
ὕμνοις τιμήσωμεν
εὐτάκτοις προσδεθέντα
καὶ τρωθέντα τὸ στῆθος
τοῖς βέλεσιν ἀνόμων πάντες ἐχθρῶν
ὡς στεῤῥὸν καλλιμάρτυρα
καὶ ἀθλητῶν ποδηγέτην πρὸς οὐρανῶν,
Σεβαστιανόν, σκηνώματα.

**Ἄ**χρι θανάτου Κυρίου
κλῆσιν προφέροντα
εὐτόλμως καὶ χορείαν
ὁδηγήσαντα θείαν
Μαρτύρων πρὸς σκηνώσεις τοῦ οὐρανοῦ,
στρατηγὸν καλλιμάρτυρα
τῆς στρατιᾶς τῶν Ῥωμαίων πανευλαβῶς,
Σεβαστιανόν, τιμήσωμεν.

Αἰσχύνας ὁμολογίᾳ
τῇ σῇ, πανεύφημε,
τοὺς λάτρεις τῶν εἰδώλων
καὶ τῇ σῇ ἀριστείᾳ
ἐν σκάμμασι σταδίου τῶν ἀσεβῶν
παρατάξεις κατηύφρανας
συναθλητῶν σου χορείας καὶ εὐσεβῶν,
Σεβαστιανέ, ὁμήγυριν.

Δεῦτε πιστοὶ συνελθόντες
ὕμνοις τιμήσωμεν
τὸν στρατηγὸν εὐτάκτοις
στρατιᾶς τῶν Ῥωμαίων
ὑπέρμαχον ὡς θεῖον Χριστιανῶν
καὶ ἀλείπτην πρὸς δώματα
στεῤῥῶν Μαρτύρων πρὸς πόλου πανευλαβῶς,
Σεβαστιανὸν τὸν ἔνδοξον.

**Δόξα. Ἦχος πλ. β΄.**

Τὸν περίδοξον ἀρχηγὸν πραιτωριανῶν τοῦ συντάγματος,εὐσταλῆ καὶ πολύαθλον τοῦ Χριστοῦ ὁπλίτην,Σεβαστιανόν, τὸν ἀήττητον καλλιμάρτυρα, εὐφημήσωμεν·οὗτος γὰρ καταλιπὼν τιμὰς καὶ δόξαν πρόσκαιρον καὶ νομίμως ἀγωνισάμενος
μεγάλων ἠξιώθη ἐπάθλων σὺν αὐτοῦ τοῖς συνάθλοις·
καὶ νῦν Χριστοῦ θεώμενος τοῦ κάλλους
ἀπαύστως Αὐτὸν δυσωπεῖ ὑπὲρ τῶν τιμώντων
αὐτοῦ πανευλαβῶς τὴν ἐνάθλησιν.

**Καὶ νῦν. Προεόρτιον (Ἐκ τοῦ Μηναίου).**
Δανιήλ, ἀνὴρ ἐπιθυμιῶν...

**Εἴσοδος.** Φῶς ἱλαρόν. **Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα·**

**Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα.(Κεφ. β΄ 1 - 11 )**

Τέκνον, εἰ προσέρχῃ δουλεύειν Κυρίῳ Θεῷ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν· εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον καὶ μὴ σπεύσῃς ἐν καιρῷ ἐπαγωγῆς· κολλήθητι αὐτῷ καὶ μὴ ἀποστῇς, ἵνα αὐξηθῇς ἐπ' ἐσχάτων σου. Πᾶν ὃ ἐὰν ἐπαχθῇ σοι, δέξαι καὶ ἐν ἀλλάγμασι ταπεινώσεώς σου μακροθύμησον· ὅτι ἐν πυρὶ δοκιμάζεται χρυσὸς καὶ

ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Πίστευσον αὐτῷ καὶ ἀντιλήψεταί σου· εὔθυνον τὰς ὁδούς σου καὶ ἔλπισον ἐπ' αὐτόν. Οἱ φοβούμενοι τὸν Κύριον ἀναμείνατε τὸ ἔλεος αὐτοῦ καὶ μὴ ἐκκλίνητε, ἵνα μὴ πέσητε. Οἱ φοβούμενοι Κύριον πιστεύσατε αὐτῷ καὶ οὐ μὴ πταίσῃ ὁ μισθὸς ὑμῶν. Οἱ φοβούμενοι Κύριον ἐλπίσατε εἰς ἀγαθὰ καὶ εἰς εὐφροσύνην αἰῶνος καὶ ἐλέους. Ἐμβλέψατε εἰς ἀρχαίας γενεὰς καὶ ἴδετε· τίς ἐνεπίστευσε Κυρίῳ καὶ κατῃσχύνθη; Ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν; Διότι οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος καὶ ἀφίησιν ἁμαρτίας καὶ σῴζει ἐν καιρῷ θλίψεως.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. α΄ 1 - 10 )

Ἀγαπήσατε δικαιοσύνην, οἱ κρίνοντες τὴν γῆν, φρονήσατε περὶ τοῦ Κυρίου ἐν ἀγαθότητι καὶ ἐν ἁπλότητι καρδίας ζητήσατε αὐτόν· ὅτι εὑρίσκεται τοῖς μὴ πειράζουσιν αὐτόν, ἐμφανίζεται δὲ τοῖς μὴ ἀπιστοῦσιν αὐτῷ. Σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ Θεοῦ, δοκιμαζομένη τε ἡ δύναμις ἐλέγχει ἄφρονας. Ὅτι εἰς κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας· ἅγιον γὰρ πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων καὶ ἐλεγχθήσεται ἐπελθούσης ἀδικίας. Φιλάνθρωπον γὰρ πνεῦμα σοφίας καὶ οὐκ ἀθῳώσει βλάσφημον ἀπὸ χειλέων αὐτοῦ· ὅτι τῶν νεφρῶν αὐτοῦ μάρτυς ὁ Θεὸς καὶ τῆς καρδίας αὐτοῦ ἐπίσκοπος ἀληθὴς καὶ τῆς γλώσσης ἀκουστής· ὅτι πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς. Διὰ τοῦτο φθεγγόμενος ἄδικα οὐδεὶς μὴ λάθῃ, οὐδὲ μὴ παροδεύσῃ αὐτὸν ἐλέγχουσα ἡ δίκη. Ἐν γὰρ διαβουλίοις ἀσεβοῦς ἐξέτασις ἔσται, λόγων δὲ αὐτοῦ ἀκοὴ πρὸς Κύριον ἥξει εἰς ἔλεγχον ἀνομημάτων αὐτοῦ· ὅτι οὖς ζηλώσεως ἀκροᾶται τὰ πάντα καὶ θροῦς γογγυσμῶν οὐκ ἀποκρύπτεται.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(Κεφ. γ΄ 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων

www.tezaurliturgic.ro


τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα.

**Ἦχος α΄.**

**Ε**ὐφραίνου ἐν Κυρίῳ, φιλομαρτύρων ὁ δῆμος
καὶ τέρπου καὶ ἀγάλλου ὁ χορὸς Χριστωνύμων
ἑορτάζων σήμερον τὴν πάνσεπτον μνήμην
Σεβαστιανοῦ, τοῦ καλλινίκου Μάρτυρος,
καὶ ἐν ἀγαλλιάσει βόησον·
Μεδιολάνων ἐκβλάστημα καὶ στρατιᾶς τῶν Ῥωμαίων
περίβλεπτον ἐγκαλλώπισμα,ὁ ὑπερμαχήσας τῶν
καμνόντων, χειμαζομένων καὶ ἀθλούντων,Χριστὸν
ἡμῖν ἱλέωσαι τοῖς τιμῶσιν ἐν ὕμνοις τὰ σὰ
κατορθώματα.

**Ἦχος β΄.**

**Τ**ὸν μαστιγώσεις ὑπομείναντα καὶ βελῶν τὰς
τρώσεις,Σεβαστιανόν, τὸν στρατηλάτην πρότερον
στρατιᾶς τῆς γηΐνης καὶ ὕστερον στρατιᾶς τοῦ
οὐρανίου Παμβασιλέως,ἀνδρικῶς ἀθλήσαντα τιμήσωμεν
λέγοντες·Ἀήττητε στρατηλάτα, ὁ τὸ πάθος τοῦ
Χριστοῦ μιμησάμενος καὶ ὡς ἱερεῖον Αὐτῷ
προσενεχθεὶς πανάμωμον,περίσκεπε καὶ περιφρούρει
τοὺς εὐλαβῶς ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην
σου.

**Ἦχος γ΄.**

Σεβαστιανὸν τὸν Μάρτυρα, φιλάθρωπον ψυχὴν ἐπιδείξαντα,ὡς προασπιστὴν πτωχῶν καὶ καμνόντων καὶ ἀθλούντων ἀλείπτην ἀπλανέστατον εὐφημήσωμεν· οὗτος γὰρ παῤῥησίᾳ Χριστὸν ὁμολογήσας καὶ πολλοὺς ἀθλητὰς ἐν σταδίῳ ἐμψυχώσας αὐτῶν τῶν ἄθλων ὁμόζηλος πέφηνε· καὶ νῦν στεφηφόρος θείας εὐκλείας μετέχων Χριστὸν δυσωπεῖ ἀπαύστως ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Ἦχος δ΄.**

Τὸ τετρωμένον ὑπὸ τῶν βελῶν τῶν ἀπίστων σῶμά σου λαβοῦσα ἡ εὐσεβὴς χήρα, Λουκῖνα, περιέθαλψε καὶ ἐν ὑγιείᾳ παρέδωκέ σε πρὸς συνέχισιν τοῦ μαρτυρίου σου,Σεβαστιανὲ πανθαύμαστε· ἁγιάσας οὖν αἱμάτων σου χεύμασι τὰς ῥύμας τῆς Ῥώμης καὶ ὁδηγήσας πολλοὺς μάρτυρας εἰς λῆψιν στέφους ἀφθίτου ἀπῆλθες Χριστῷ ὑπαντῆσαι τῷ ἁγιάζοντι ἀπαύστως τὸν βίον καὶ τὰ ἔργα τῶν Αὐτὸν δοξαζόντων ἑκάστοτε.

**Δόξα. Ἦχος ὁ αὐτός.**

Τὸν ἔνθεον Μάρτυρα καὶ ἀριστέα τοῦ σταδίου, Σεβαστιανόν, τὸν ἀήττητον στρατηλάτην, εὐφημήσωμεν ὡς ἀθλητικαῖς ἀγλαΐαις καθωραϊσμένον φίλον Κυρίου καὶ ἐστεμμένον οὐρανῶν πολίτην οὕτω λέγοντες·Ὁ μὴ καμφθεὶς τοῖς βέλεσι καὶ μαστιγώσεσι καὶ τρόπαιον πίστεως ἐγείρας ἐν μέσῳ λατρῶν εἰδώλων,ἐκτενῶς τὸν φιλάνθρωπον ἐκδυσώπει Κύριον ὑπὲρ ὑγιείας τῶν σὲ τιμώντων καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Προεόρτιον (Ἐκ τοῦ Μηναίου).**
Ἠσαΐα, χόρευε, Λόγον Θεοῦ ὑπόδεξαι...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, λαμπάς, Σεβαστιανέ, παμφαεστάτη τοῦ Χριστοῦ θείας πίστεως, ἀκτῖσι τῆς ἀριστείας

www.tezaurliturgic.ro


καὶ ψυχικῆς ἀρετῆς
ὁ φαιδρύνας δῆμον
τὸν Χριστώνυμον,
Μαρτύρων ὡράϊσμα,
Ἐκκλησίας εὐπρέπεια,
ὁ τῶν καμνόντων
καὶ πενήτων ὑπέρμαχος,
τὸ στερέωμα
τῶν πιστῶν ἐν τοῖς σκάμμασι
τῆς εὐκλεοῦς ἀθλήσεως,
στρατάρχα ἀήττητε,
εἰδωλοφρόνων τὸν ζόφον
ὁ διαλύσας ἐνστάσει σου
εὐτόλμῳ καὶ ἄθλοις
ὑπὲρ ἔννοιαν καὶ λόγον,
πανευσταλέστατε.

**Στίχος.** Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

**Χ**αίροις, Μεδιολάνων βλαστός,
ὁ ἀριστεύσας ἐν στρατῷ καὶ ἀξίωμα
στρατάρχου ἐνδοξοτάτου
λαβών, Σεβαστιανέ,
Μάρτυς εὐσεβείας
γενναιότατε·
σὺ γὰρ καλλιμάρτυρας
ἐνισχύων ἐν σκάμμασι
καθυπομεῖναι
ἄχρι τέλους αἰκίσματα
καὶ παλαίσματα
στεῤῥοψύχως κατώδυνα
τρίβῳ αὐτῶν ἀθλήσεως
καλῶς ἠκολούθησας
καὶ σὺν αὐτοῖς ἠξιώθης
ἐπαπολαύειν λαμπρότητος
καὶ θείας εὐκλείας
οὐρανῶν ἐν ὑπερφώτοις
σαφῶς σκηνώσεσι.

**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Μ**νήμην τὴν σήν, Σεβαστιανέ,
ἐπιτελοῦντες οἱ φιλέορτοι σήμερον

www.tezaurliturgic.ro


ἐκθύμως ἀνευφημοῦμεν
σοῦ μαρτυρίου λαμπροῦ
πόνους, καρτερόφρον,
στῦλε ἄσειστε
Χριστοῦ θείας πίστεως,
ὁ στηρίξας συντάγματα
στεῤῥῶς ἀθλούντων
δι' ἀγάπην τοῦ Κτίσαντος
καὶ ὁμήγυριν
κατευφράνας τὴν ἔνθεον
Χριστιανῶν, καλλίνικε,
πολλῇ εὐτολμίᾳ σου
καὶ παῤῥησίᾳ καὶ τόλμῃ
πρὸ τῶν ἀρχόντων τῆς πόλεως
τῆς Ῥώμης σεβόντων,
οἴμοι, λίθους ἀναισθήτους,
σεπτέ, καὶ ξόανα.

**Δόξα. Ἦχος πλ. δ΄.**

**Δ**ιοκλητιανοῦ πατήσας τὸ ἐπηρμένον φρύαγμα
μαρτυρικοῖς σου ἄθλοις, Σεβαστιανέ, ἀπείληφας
τὸ ἔπαθλον τῆς ἀφθρσίας, Μάρτυς καρτερόψυχε·
ὅθεν ἀνδρικῶς ὑπομείνας βελῶν τὰς τρώσεις
καὶ μαστίγων τὰς ἀλγηδόνας ὡς ἄσαρκος
Μαρτύρων συνηριθμήθης χορείαις
καὶ Χριστὸν δυσωπεῖν κατηξίωσαι
ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Προεόρτιον (Ἐκ τοῦ Μηναίου).**
Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος...

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

**Ἐ**πὶ ξύλου ξεόμενος, Μάρτυς ἄριστε,
βελῶν λατρῶν τῶν εἰδώλων
κεντήσεις τὰς ζοφερὰς
δεδεμένος ὤν ὑπήνεγκας στεῤῥότατα,
ἄλκιμε Σεβαστιανέ,
στρατηλάτα τοῦ Χριστοῦ
τῆς πίστεως· ὅθεν πάντες
σὲ ἀνυμνοῦντες λιτάς σου
πρὸς τὸν Χριστὸν ἀπεκδεχόμεθα.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἀπόλυσις.**

**************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α´. Τὸν τάφον Σου, Σωτήρ.**

**Ν**ῦν Σεβαστιανόν,
εὐτολμίας πυξίον,
κανόνα ἀρετῆς
καὶ πτωχῶν συμπαθείας
τὸν γνώμονα μέλψωμεν
ὁλοθύμως κραυγάζοντες·
Μάρτυς πίστεως,
ὁ τοῦ Κυρίου ζηλώσας
τὰ παθήματα,
Αὐτὸν τοῖς σὲ ἀνυμνοῦσιν
ἐκθύμως ἱλέωσαι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον.**

**Ε**ὐφραίνου Βηθλεέμ,
ἡ Παρθένος γὰρ Κόρη
προσέρχεται τεκεῖν
τὸν Σωτῆρα τοῦ κόσμου,
σοὶ τὸν μεγαλύναντα
σὲ καὶ κόσμου εἰς πέρατα
εὐφημήσαντα
Αὐτοῦ ὡς χθόνα πατρῴαν
τὴν ἑνώσασαν
τῶν οὐρανῶν τὰς ἐπάλξεις
μετὰ τοῦ σπηλαίου σου.

**Μετὰ τὴν β´ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ´. Ταχὺ προκατάλαβε.**

**Ἀ**γάπης καρδίαν σου
τρώσαντα βέλη Χριστοῦ

www.tezaurliturgic.ro


Μαρτύρων σε ἔδειξαν
στεῤῥὲ Σεβαστιανέ,
ἀρίστων ἐκτύπωμα·
ὅθεν καὶ πολεμίων
οὐκ ἐπτόησαν βέλη,
φρόνημα τὸ σεπτόν σου
οἴμοι, τὰ ἰοβόλα,
σταδίου θαυμαστὲ ἀριστεῦ,
πίστεως σέμνωμα.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον.**

Χριστόν, Ὃν δοξάζουσιν
Ἀγγέλων αἱ στρατιαὶ
ἀπαύστως ἐπείγεται
τεκεῖν ἡ Μήτηρ Αὐτοῦ,
Μαρία ἡ πάναγνος·
σπεύσωμεν οὖν τιμῆσαι
εὐσεβῶν αἱ χορεῖαι
ὕμνοις τὴν Θεοτόκον,
καὶ χοροῖς σὺν Ἀγγέλων
αὐτῆς Υἱὸν τὸν μονογενῆ
δοξολογήσωμεν.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Προασπιζόμενος πτωχοὺς καὶ πένητας
καὶ σθένει θείῳ σου Χριστοῦ τῆς πίστεως
στεῤῥόφρον Σεβαστιανέ, ἰσχύων τοὺς ἐν σταδίῳ
ἀθλητὰς πρὸς ἔνδοξον προχωρῆσαι μαρτύριον
τούτων τὰ παλαίσματα ἐμιμήσω, πολύαθλε·
διὸ καὶ σὺν αὐτοῖς στέφος δόξης, Μάρτυς,
ἀπείληφας ἀφθίτου.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον.**

Δεῦτε χορεύσωμεν πάντες Χριστώνυμοι,
ὅτι ὁ Κύριος ἁπάσης κτίσεως
ἐκ τῶν αἱμάτων τῆς ἁγνῆς ἀπείληφε Θεοτόκου
φύραμα τὸ βρότειον, ἵνα σώσῃ τὸν ἄνθρωπον
ἐκ φθορᾶς τὸν δύστηνον Παραδείσου ἐξόριστον
δοξάζοντες Αὐτὸν σὺν Ἀγγέλοις, Μάγων τριάδι καὶ
Ποιμέσι.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἦχου καὶ τὸ Προκείμενον·**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος...

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἦχου καὶ τὸ Προκείμενον.**
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.
**Στίχος.** Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

**Εὐαγγέλιον· κατὰ Ἰωάννην (Κεφ. ιε´ 17 –ιστ´ 2 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ταῦτα ἐντέλλομαι ὑμῖν..
Ὅρα τὸ εἰς τὴν Λειτουργίαν τοῦ Ἁγίου Γεωργίου.
**Ὁ Ν´ Ψαλμός.**

**Δόξα.** Ταῖς τοῦ Ἀθλοφόρου, πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείας, Ἐλεῆμον....

**Ἰδιόμελον. Ἦχος πλ. β´**

**Χ**ριστοῦ τὴν κλῆσιν παῤῥησίᾳ κηρύττων ἐν Ῥώμῃ
ᾔσχυνας τοὺς λάτρεις τῶν εἰδώλων
καὶ ηὔφρανας πιστῶν τὰ συστήματα,
Σεβαστιανέ, Μάρτυς πανάριστε·
ὅθεν ἡμεῖς σήμερον τὴν μνήμην σου ἑορτάζοντες
καὶ ἐγκωμίων ἄνθεσι στέφοντες τὰς ἀριστείας σου
τὰς θεοπειθεῖς σου πρεσβείας ἐκδεχόμεθα
πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ ζωὴν τὴν αἰώνιον.

Σῶσον, ὁ Θεός, τὸν λαόν Σου....

**Εἶτα ὁ Κανὼν τοῦ Μάρτυρος, οὗ ἡ Ἀκροστιχίς·**

**" Σεβαστιανόν, εὐσεβῶν ὑμνῶ ὑπέρμαχον. Χ. "**

**ᾨδὴ α´. Ἦχος δ´. Ἀνοίξω τὸ στόμα μου.**

**Σ**εβόμενον Μάρτυρας
τῆς τοῦ Χριστοῦ θείας πίστεως,
στρατάρχην καλλίνικον
φαιδρῶς, Σεβαστιανόν,
εὐφημήσωμεν
τῆς στρατιᾶς Ῥωμαίων
κατακολουθήσαντα
τούτων τοῖς ἴχνεσιν.

www.tezaurliturgic.ro


Ἐκβλάστημα τίμιον
Μεδιολάνων, κατηύφρανας
ὀδμαῖς ἀριστείας σου
λαμπρᾶς, Σεβαστιανέ,
τοὺς λατρεύοντας
Θεὸν ἡμῶν τὸν ζῶντα
καὶ ἄθλοις αἰσχύναντας
τοὺς εἰδωλόφρονας.

Βαδίσας τὴν ἔνδοξον
ὁδὸν καλῶς τῆς ἀθλήσεως
στεφάνους ἀπείληφας
χρυσοῦς, Σεβαστιανέ,
ἀφθαρτότητος
ἐκ τῶν χειρῶν Κυρίου,
πιστοῖς ἀπονέμοντος
γέρα ἀείποτε.

**Θεοτοκίον.**

Ἁγνὴ ἀειπάρθενε,
εὐλογημένη Μητρόθεε,
φωνῆς τῆς δεήσεως
τῶν σῶν θερμῶν οἰκετῶν
νῦν ἐπάκουσον
καὶ πέμψον οὐρανόθεν
ἡμῖν προστασίαν σου
τὴν ἀδιάπτωτον.

**ᾨδὴ γ´. Τοὺς σοὺς ὑμνολόγους.**

Σοῦ, Μάρτυς Χριστοῦ ἠγλαϊσμένε,
κατέτρωσε, Σεβαστιανέ,
ἐχθρῶν τὸ βέλος στῆθός σου
τὸ πάνσεπτον καὶ σῶμά σου
αἱ μάστιγες τὸ πάναγνον
τῶν λατρευόντων τὰ εἴδωλα.

Τὸν θεῖον ὑπέρμαχον καμνόντων
ὑμνήσωμεν Σεβαστιανόν,
ἐμψυχωτὴν ὡς ἄριστον
τῶν ἀθλητῶν τῆς πίστεως,
τῶν ὑπὲρ πάντας Κύριον

φιλούντων τὸν Παντοκράτορα.

Ἰσχὺν δεδεγμένος οὐρανόθεν
κατῄσχυνας, Σεβαστιανέ,
τῆς Ῥώμης αὐτοκράτορα,
λατρεύοντα τὰ εἴδωλα
ὁμολογῶν πρὸ βήματος
αὐτοῦ Χριστόν, τὸν Θεάνθρωπον.

**Θεοτοκίον.**

Ἀνάγαγε πάντας ἐκ βοθύνου
παθῶν χαμαιζήλων, ἀγαθή,
Θεογεννῆτορ Δέσποινα,
τοὺς ὕμνοις μακαρίζοντας
πληθὺν τῶν θαυμασίων σου
καὶ πρὸς ἡμᾶς σὴν ἀντίληψιν.

**Κάθισμα. Ἦχος γ΄. Ἐπεφάνης σήμερον.**

Σέβας ἱερώτατον
τῆς Ἐκκλησίας,
ἀθλητῶν ὑπόδειγμα
καὶ γέρας, Σεβαστιανέ,
ἀνδρῶν εὐψύχων, ὑμνοῦμέν σε
τὸν παρανόμων
τρωθέντα τοῖς βέλεσι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Προεόρτιον.**

Ἡ Παρθένος ἔρχεται
πρὸς Ἰουδαίαν
τὸν Σωτῆρα Κύριον
ἀποτεκεῖν ἐν Βηθλεέμ,
βροτῶν λαβόντα τὸ φύραμα
γένος θεῶσαι
ἡμῶν ὡς φιλάνθρωπος.

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Νικηφόρως τὸν ἀγῶνα
ἐν σταδίῳ διήνυσας
καὶ ἀπίστων θράσος
ἐδαφίσας, Μάρτυς, ἐνστάσει σου
πρὸς τὴν ἀγήρω μετέστης ἀφθαρτότητα

σὺν συντάγμασι
στεῤῥῶν συνάθλων σου, ἔνδοξε.

Οὐρανόθεν τοὺς στεφάνους
ἀφθαρσίας ἀπείληφας
ὥσπερ στρατηλάτης,
Σεβαστιανὲ γενναιότατε,
τῆς στρατιᾶς τοῦ Κυρίου καὶ ὡράϊσμα
θείας πίστεως,
Μεδιολάνων ἐκβλάστημα.

Νέκταρ μαρτυρίου, μάκαρ,
ὥσπερ πῶμα ἡδύποτον
ἔπιες ἐκθύμως,
Σεβαστιανὲ ἀξιάγαστε·
σοῦ γὰρ πικρίαν μετέβαλεν ὁ Ὕψιστος
εἰς γλυκύτητα
τοῦ μαρτυρίου τῶν πόνων σου.

**Θεοτοκίον.**

Ἐπακούουσα μὴ παύσῃ
τῶν σῶν δούλων, ὑπέραγνε,
Κεχαριτωμένη,
Μῆτερ τοῦ Ὑψίστου πανεύφημε,
καὶ διανέμουσα χάριν σου ἀείποτε
τοῖς δοξάζουσι
τὸν παντοδύναμον Τόκον σου.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Ὑμνοῦμέν σε πάντοτε,
Καρίνου αὐτοκράτορος
εὔνοιαν ἑλκύσαντα, γενναῖε,
τοῦ δείξαντός σε
στρατάρχην τῆς στρατιᾶς
αὐτοῦ, Μάρτυς Σεβαστιανέ,
διὰ κατορθώματα
ἐν ταῖς μάχαις τοῦ βίου σου.

Σοῦ δύναμις πίστεως
οἰκοῦσα ἐν καρδίᾳ σου,
Σεβαστιανέ, πρὸ τῶν ἀθλούντων
Χριστοῦ Μαρτύρων

ὤθησέ σε εἰς λαμπρὰν
Ἁγίου ὀνόματος Αὐτοῦ,
μάκαρ, διακήρυξιν,
στρατηλάτα ἀήττητε.

Ἐκθύμως ὑπέμεινας
τὰ βέλη ἐν τῷ στήθει σου,
Σεβαστιανέ, λατρῶν εἰδώλων
καὶ μαστιγώσεις
ἐν σώματί σου σεπτῷ,
Μαρτύρων ἀρίστων καλλονή,
διὰ τὴν ἀγάπησιν
τοῦ Θεοῦ Παντοκράτορος.

**Θεοτοκίον.**

Βυθοῦ με ἐξάρπασον
κακίας, Μητροπάρθενε,
Κεχαριτωμένη Θεοτόκε,
καὶ πρὸς ἐπάλξεις
τῆς ἀρετῆς, Μαριάμ,
κατεύθυνε δοῦλόν σου, ἁγνή,
ταπεινὸν ἑκάστοτε
σὲ λαμπρῶς μεγαλύνοντα.

**ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.**

Ὡραῖοι ὤφθησαν πόδες σου
οἱ ἐν σταδίου σκάμμασι σπεύσαντες
Μάρτυρας πίστεως
θαῤῥῦναι ἄχρι τῆς στέψεως
αὐτῶν ὑπὸ Κυρίου
χειρῶν, πολύαθλε.

Νῦν πάντες μνήμην σου ἄγοντες
ἐκθύμως, καλλιμάρτυς, δεόμεθα·
Τὸν πολυέλεον
Θεὸν ἡμῖν καθιλέωσαι
τοῖς μακαρίζουσί σε
ψαλμοῖς καὶ ᾄσμασιν.

Ὑμνοῦμεν πόνους ἀθλήσεως
σῆς, Σεβαστιανὲ θεοτίμητε,
οὕσπερ ὑπήνεγκας

διὰ Χριστόν, Ὃν ἠγάπησας
ἐξ ὅλης σου καρδίας,
Μάρτυς πανεύφημε.

**Θεοτοκίον.**

**Μ**αρτύρων σέμνωμα, πάναγνε,
εὐλογημένη Μήτηρ τοῦ Κτίσαντος,
σκέπε ἀείποτε
καὶ περιφρούρει τοὺς δούλους σου
τοὺς μακαρίζοντάς σε
λαμπροῖς ἐν ᾄσμασι.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

**Τ**ὸν στρατηλάτην τοῦ Ῥωμαίου αὐτοκράτορος
ἀπαρνησάμενον τιμὰς τοῦ ἀξιώματος
καὶ χωρήσαντα πρὸς σκάμματα μαρτυρίου,
Σεβαστιανὸν τὸν Μάρτυρα, τιμήσωμεν
σὺν αὐτοῦ χορῷ συνάθλων ὕμνοις πρέπουσι
πόθῳ κράζοντες· Χαίροις, πίστεως πρόμαχε.

**Ὁ Οἶκος.**

**Ἄ**ριστος ἐν σταδίῳ
καλλιμάρτυς ἐδείχθης,
στρατάρχα εὐσεβείας γενναῖε,
ἀθλοφόρε Σεβαστιανέ,
ὁ ὑπεραθλοῦντας τοῦ Χριστοῦ πίστεως
στηρίζων ἐν τοῖς σκάμμασι·
διό σοι ἐν χαρᾷ φωνοῦμεν·

Χαῖρε, ὁ γόνος Μεδιολάνων·
χαῖρε, ὁ στῦλος ἐναθλουμένων.

Χαῖρε, ἡ αἰσχύνη σεβόντων τὰ εἴδωλα·
χαῖρε, ἡ ἀγάπη ποθούντων τὰ κρείττονα.

Χαῖρε, ὅτι κατετρόπωσας τὸν Διοκλητιανόν·
χαῖρε, ὅτι κατηγλάϊσας φιλομάρτυρα λαόν.

Χαῖρε, ὁ ὑπομείνας ἀκλινῶς μαστιγώσεις·
χαῖρε, ὁ καταισχύνας τῶν εἰδώλων τοὺς λάτρεις.

Χαῖρε, ἀστὴρ Χριστοῦ ἀγαπήσεως·
χαῖρε, πρηστὴρ ἀπίστων κακώσεως.

Χαῖρε, λαμπρῶν πολυάθλων λαμπρότης·
χαῖρε, πιστῶν ἀθλοφόρων σεμνότης.

Χαίροις, πίστεως πρόμαχε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΗ´ Δεκεμβρίου. Εἶτα λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου Μάρτυρος Σεβαστιανοῦ καὶ τῶν σὺν αὐτῷ εὐκλεῶν συνάθλων, Ζωῆς, Τραγκυλίνου, Κλαυδίου, Τιβουρτίου, Καστούλου, Μάρκου καὶ Μαρκελλίνου.

**Στίχοι.**

Σεβαστιανοῦ στῆθος βέλει ἐτρώθη,
οὗ Χριστοῦ πρὶν κατέτρωσεν ἡ ἀγάπη.

**Συναξάριον.**

Ὁ ἔνδοξος Μάρτυς τοῦ Χριστοῦ Σεβαστιανὸς ἦν ἐκ Μεδιολάνων, συγκλητικὸς τὴν ἀξίαν, κατὰ τοὺς χρόνους Διοκλητιανοῦ (284-304) καὶ Μαξιμιανοῦ (286-306), πολλοὺς εἰς τὴν εὐσέβειαν ἐκ τῆς πλάνης τῶν εἰδώλων ἐπιστρέφων καὶ προασπιζόμενος τοὺς πτωχοὺς καὶ τοὺς πένητας οὕτως ὥστε ὁ Ἐπίσκοπος Γάϊος κατέστησεν αὐτὸν ἔκδικον τῆς Ἐκκλησίας. Μαθὼν ταῦτα ὁ Διοκλητιανὸς μετεκαλέσατο αὐτὸν εἰς Ῥώμην πρὸς ἐξέτασιν καὶ πεισθεὶς περὶ τῆς αὐτοῦ εὐσεβείας παρέδωκεν αὐτὸν τοῖς δημίοις. Οὗτοι διὰ τῶν βελῶν κατέτρωσαν αὐτόν, ὃν ἡμιθανῆ λαβοῦσα ἡ εὐσεβὴς χήρα Καρῖνα περιέθαλψεν. Ἐλέγξας ὅθεν εἶτα ὁ Σεβαστιανὸς πεπαῤῥησιασμένῃ φωνῇ τὸν Διοκλητιανὸν διὰ τὴν αὐτοῦ σκληροκαρδίαν παρεδόθη εἰς μαστιγώσεις καὶ οὕτως ἔλαβε τὸ στέφος τοῦ μαρτυρίου ἐκ χειρῶν Κυρίου, τοῦ σεπτοῦ ἀθλοθέτου καὶ ἀγωνοθέτου καὶ στεφοδότου, ὁ ἀοίδιμος. Σὺν αὐτῷ καπνῷ δυσώδει ἐτελειώθη Ζωὴ ἡ Μάρτυς, λιθοβοληθεὶς ὁ Τραγκυλῖνος, ἐν βυθῷ ὁ Κλαύδιος, ξίφους ἀκμῇ ὁ Τιβούρτιος, βοθύνῳ βαθεῖ ὁ Κάστουλος καὶ λόγχαις οἱ Μᾶρκος καὶ Μαρκελλῖνος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.**

Νίκης στέφανον
χρυσόπλοκον, πανεύφημε
Μάρτυς τῆς πίστεως,
ἐδέξω ἐκ τῶν χειρῶν
Χριστοῦ, πᾶσι νέμοντος
τῆς ἀφθαρτότητος
γέρα, ἔνδοξε
στρατάρχα τοῦ Παντάνακτος,
Σεβαστιανὲ ἀλκίφρον.

Ὡς τῆς πίστεως
τῶν ἀθλητῶν ὑπέρμαχον
σὲ μεγαλύνοντες
τρανῶς, Σεβαστιανέ,
καμάτους σου σέβομεν
τοὺς ὑπὲρ ἔννοιαν,
δι' ἀγάπησιν
Χριστοῦ τοῦ πανοικτίρμονος
οὕσπερ ἔτλης, καλλιμάρτυς.

Ὑμνῳδίαις σε
τιμῶντες πανευσχήμοσιν
ἐγκωμιάζομεν
σὴν παῤῥησίαν, δι' ἧς
Χριστοῦ ὡμολόγησας
σεπτὴν θεότητα
πρὸ τοῦ βήματος
τῶν λατρευόντων εἴδωλα,
Σεβαστιανὲ τρισμάκαρ.

**Θεοτοκίον.**

Πανευλόγητε
Θεογεννῆτορ, ᾄσμασιν
ὡς κοσμοσώτειραν
σὲ μελῳδοῦμεν λαμπρῶς
καὶ πίστει προστρέχομεν
τῇ ἀντιλήψει σου,
προστασίᾳ σου
ἀγρύπνῳ, Μητροπάρθενε,

καὶ σεπτῇ περιφρουρήσει.

**Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.**

Ἔνθους, Σεβαστιανὲ στεῤῥόφρον,
εἰσῆλθες εἰς τῆς ἀθλήσεως τὸ στάδιον
ἐνισχῦσαι Μάρτυρας
εὐσταλεῖς τῆς πίστεως
ἀγῶνα τὸν θεάρεστον,
στρατάρχα τίμιε,
ἀλκίμως περατῶσαι, ὃν χαίρων
ἄχρι σοῦ ἐνδόξου
διήνυσας, θανάτου.

Ῥείθροις, Σεβαστιανέ, πανσέπτοις
αἱμάτων σου τὴν στολὴν σοῦ ἀξιώματος,
Μάρτυς, ἐπορφύρωσας
καὶ τῆς Ῥώμης στάδιον
ἐπέχρωσας, πανίερε,
ἐν ᾧ ἐξέχεαν
τὰ αἵματα αὐτῶν αἱ χορεῖαι
τῶν συναθλητῶν σου
τῶν παναλκίμων, μάκαρ.

Μάρτυς Σεβαστιανέ, βασάνους
ὑπέμεινας καρτερῶς διὰ τὴν πίστιν σου
σὺν Ζωῇ τῇ ἔμφρονι,
Τιβουρτίῳ μάκαρι,
Κλαυδίῳ, Τραγκυλίνῳ τε
Καστούλῳ, ἔνδοξε,
ἀρίστῳ Μαρκελλίνῳ καὶ Μάρκῳ,
μεθ’ ὧν συγχορεύεις
ἐν ὑπερφώτοις δόμοις.

**Θεοτοκίον.**

Ἄσπιλε καὶ ἄχραντε Παρθένε,
ἡμᾶς τῇ σῇ προστασίᾳ περιτείχισον
καὶ φρουρᾷ, Μητρόθεε,
σὲ τοὺς μακαρίζοντας,
ὡς ἂν τοῦ βίου δόλιχον
καλῶς ἀνύσωμεν
καὶ τάχος καταντήσωμεν πάντες

εἰς σκηνώσεις πόλου
Ἀγγέλοις συγχορεύειν.

**ᾨδὴ θ΄ . Ἅπας γηγενής.**

Χαίρετε, χοροὶ
Μαρτύρων ὑπέρτιμοι,
Ζωὴ πανεύφημε,
Τραγκυλῖνε ἔνδοξε,
Κάστουλε, Μᾶρκε,
στεῤῥὲ Τιβούρτιε,
σὺν Μαρκελλίνῳ Κλαύδιε
καὶ γενναιότατε
στρατηλάτα
τοῦ Χριστοῦ ἀήττητε,
ὦ Σεβαστιανὲ γενναιότατε.

Ὄλβε τιμαλφὲς
Χριστοῦ θείας πίστεως,
ἡμῖν ἱλέωσαι
τὸν Σωτῆρα Κύριον
τοῖς ἀνυμνοῦσι
ψυχῆς σου εὔτονον
καὶ πόθον μαρτυρίου σου,
δι᾽ οὗ ἐπέτυχες
τῶν Ἀγγέλων
δήμοις συναγάλλεσθαι
ὦ Σεβαστιανὲ καρτερόψυχε.

Νύκτα τῶν παθῶν
ἡμῶν διασκέδασον
φωτὶ δεήσεων
σῶν θερμῶν πρὸς Ὕψιστον,
Μεγαλομάρτυς
ἡμῶν τῆς πίστεως,
καὶ ἦμαρ ἐξανάτειλον
τοῖς εὐφημοῦσί σε
ἀπαθείας,
ἀθλητὰ φωτόλαμπρε,
ὦ Σεβαστιανὲ χαριτόβρυτε.

**Θεοτοκίον.**

Χαῖρε, Μαριάμ,

Μαρτύρων ἀγλάϊσμα,
χαρίτων τέμενος,
θεῖον καταφύγιον
ἐμπεριστάτων,
Θεογεννήτρια,
καὶ πάντων παραμύθιον
τῶν ἐν ταῖς θλίψεσι
καὶ ταῖς λύπαις,
Μῆτερ παμμακάριστε,
μεροπείου τοῦ γένους διάσωσμα.

**Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.**

**Μ**αρτύρων πίστεως εὖχος
καὶ κλέος, Σεβαστιανέ,
ὁ ὑπομείνας βασάνους
σὺν τῶν συνάθλων σου χορῷ
διὰ Χριστοῦ τὴν ἀγάπην
στεφάνους νίκης ἐδέξω.

**Προεόρτιον.**

**Θ**εογεννῆτορ Παρθένε,
τὸν σὸν Υἱὸν ἐν Βηθλεὲμ
ἔρχῃ τεκεῖν ἀποῤῥήτως,
φθορᾶς ἡμῶν τὸν Λυτρωτήν,
ἀνακαινίσαντα φύσιν
βροτῶν, σεμνὴ Παναγία.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**
**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος !**

**Μ**άρτυς τοῦ Χριστοῦ καλλίνικε,
στεῤῥὲ Σεβαστιανέ,
τῶν σεβόντων τὰ εἴδωλα
ὁ πατήσας φρύαγμα
τῇ εὐτόλμῳ ἐνστάσει σου
καὶ τοῖς ἀγῶσι
τοῦ μαρτυρίου σου,
σὺν τῇ χορείᾳ
σεπτῶν συνάθλων σου
πάντοτε πρέσβευε
τῷ Χριστῷ, πολύαθλε,
ὑπὲρ ἡμῶν

www.tezaurliturgic.ro


τῶν τιμώντων μνήμην σου
τὴν ἀεισέβαστον.

**Ν**ίκης στέφος ὁ δεξάμενος
λαμπρόν, Σεβαστιανέ,
ἐκδυσώπει τὸν Κύριον
σὺν χορῷ συνάθλων σου
εὐσταλεῖ, γενναιότατε,
Ζωῇ, Κλαυδίῳ,
Καστούλῳ ἔμφρονι,
τῷ Τιβουρτίῳ
καὶ Τραγγκυλίνῳ τε
Μάρκῳ, θειότατε
τοῦ σταδίου πρώταθλε,
καὶ τῷ στεῤῥῷ
Μαρκελλίνῳ, πίστεως
Χριστοῦ σεμνώματι.

**Δ**εῦτε οἱ χοροὶ τιμήσωμεν
λαμπρῶς Σεβαστιανόν,
Ἐκκλησίας τὸν ἔνδικον
Ῥώμης καὶ ὑπέρμαχον
Χριστωνύμων συστήματος
ἐν περιστάσει,
τὸν διανύσαντα
τοῦ μαρτυρίου
ὁδὸν τὴν πάμφωτον
καὶ καταντήσαντα
πόλου εἰς σκηνώματα τοῦ Λυτρωτοῦ
τῆς μορφῆς θεάσασθαι
κάλλος τὸ ἄῤῥητον.

**Μ**ᾶρκε, Μαρκελλῖνε ἔνδοξε,
καὶ σὺν Κλαυδίῳ Ζωή,
Τραγκυλῖνε, Τιβούρτιε,
καὶ ἀλκίφρον Κάστουλε,
δυσωποῦντες μὴ παύσησθε
Θεοῦ τὸν Λόγον
τὸν πολυεύσπλαγχνον
ἡμῖν βραβεῦσαι
ἄμφω ὑγίειαν
τοῖς ἑορτάζουσι
τὸ ὑμῶν μαρτύριον πανευλαβῶς

www.tezaurliturgic.ro


μελιῤῥύτοις ᾄσμασι
καὶ ὕμνοις πρέπουσι.

**Δόξα. Ἦχος πλ. α΄.**

**Δ**εῦτε πιστοὶ τὸν καταφρονητὴν τῶν σεβασμάτων τῆς πλάνης,
Σεβαστιανὸν τὸν ἀοίδιμον, ἐγκωμιάσωμεν
ὡς στρατηλάτην τῆς στρατιᾶς τοῦ Ὑψίστου
καὶ Μάρτυρα καλλίνικον οὕτω λέγοντες·
Ὁ βέλεσι τρωθεὶς τῶν ἀπίστων
καὶ μάστιγξι τυφθεὶς ὡς ἄλλου πάσχοντος,
νικήτορας ἡμᾶς ἀνάδειξον κατὰ τοῦ δεινοῦ πολεμήτορος
καὶ οὐρανῶν κληρονόμους τοὺς τιμῶντας ἐν ὕμνοις
τὴν ἀεισέβαστον μνήμην σου.

**Καὶ νῦν. Προεόρτιον (Ἐκ τοῦ Μηναίου).**
Ὑπόδεξαι, Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν...

**Δοξολογία Μεγάλη καὶ 'Απόλυσις.**

***************

# ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Μάρτυρος ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.**

**Ἀπόστολος· πρὸς Ἐφεσίους (Κεφ. στ΄ 10 - 17 ).**
Ἀδελφοί, ἐνδυναμοῦσθε ἐν Κυρίῳ καὶ ἐν τῷ κράτει τῆς ἰσχύος Αὐτοῦ...
**Ζήτει τῇ ΚΖ΄ Κυριακῇ.**

**Εὐαγγέλιον· κατὰ Ματθαῖον (Κεφ. ζ΄ 12 - 21 ).**
Εἶπεν ὁ Κύριος· Πάντα ὅσα ἂν θέλητε, ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι...
**Ζήτει τῇ 13η Ὀκτωβρίου.**

**Κοινωνικόν.** Εἰς μνημόσυνον αἰώνιον.

**Μεγαλυνάριον.**

**Χ**αίροις, τὰ σεβάσματα τῶν λατρῶν

www.tezaurliturgic.ro


λίθων ὁ συντρίψας
εὐθαρσῶς, Σεβαστιανέ,
καὶ καθυπομείνας
τὰ βέλη τῶν ἀπίστων
καὶ μάστιγας ὡς ἄλλου,
ἄλκιμε, πάσχοντος.

**Δίστιχον.**

Σεβαστιανὸν Μάρτυρα Πέτρου χάριν
ὕμνησεν ἰατροῦ Χαραλάμπης πόθῳ.

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι   Δ Ο Ξ Α**

**Τ Ω   Μ Ο Ν Ω   Α Λ Η Θ Ι Ν Ω**

**Θ Ε Ω   Η Μ Ω Ν**

